σιν· ὥστε καὶ ὁ ἐλάχιστος ὑπὸ τῶν
Δ Γ μετρούμενος τὸν Ζ μετρήσει·
ὁ δὲ ἐλάχιστος ὑπὸ τῶν Δ Γ με-
τρούμενός ἐστιν ὁ Ε· ὁ Ε ἄρα
τὸν Ζ μετρεῖ ὁ μείζων τὸν ἐλάσ-
σονα· ὅπερ ἐστὶν ἀδύνατον· οὐ-
κ ἄρα οἱ Α Β Γ μετρήσουσί τινα
ἀριθμὸν ἐλάσσονα ὄντα τοῦ Ε·
ὁ Ε ἄρα ἐλάχιστος ὢν ὑπὸ τῶν
Α Β Γ μετρεῖται. ὅπερ ἔδει δεῖξαι:~



Ἐὰν ἀριθμὸς ὑπό τινος ἀριθμοῦ μετρῆται, ὁ μετρούμε-
νος ὁμώνυμον μέρος ἕξει τῷ μετροῦντι. ἀριθμὸς
γὰρ ὁ Α ὑπό τινος ἀριθμοῦ τοῦ Β μετρείσθω. λέγω ὅ-
τι ὁ Α ὁμώνυμον μέρος ἔχει τῷ Β. ὁσάκις γὰρ ὁ Β
τὸν Α μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Γ. ἐπεὶ
ὁ Β τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Γ μονάδας, μετρεῖ δὲ
καὶ ἡ Δ μονὰς τὸν Γ ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μο-
νάδας. ἰσάκις ἄρα ἡ Δ μονὰς τὸν Γ ἀριθμὸν με-
τρεῖ καὶ ὁ Β τὸν Α. ἐναλλὰξ ἄρα ἰσά-
κις ἡ Δ μονὰς τὸν Β ἀριθμὸν με-
τρεῖ καὶ ὁ Γ τὸν Α. ὃ ἄρα μέρος ἐστὶν
ἡ Δ μονὰς τοῦ Β ἀριθμοῦ, τὸ αὐτὸ
μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Α. ἡ δὲ Δ μονὰς
τοῦ Β ἀριθμοῦ μέρος ἐστὶν ὁμώνυ-
μον αὐτῷ. καὶ ὁ Γ ἄρα τοῦ Α μέρος
ἐστὶν ὁμώνυμον τῷ Β. ὥστε ὁ Α μέ-



ρος ἔχει τὸν Γ ὁμώνυμον ὄντα τῷ Β. ὅπερ ἔδει δεῖξαι:~
λη΄ Ἐὰν ἀριθμὸς μέρος ἔχῃ ὁτιοῦν, ὑπὸ ὁμωνύμου ἀριθμοῦ με-
τρηθήσεται τῷ μέρει. ἀριθμὸς γὰρ ὁ Α μέρος ἐχέτω
ὁτιοῦν τὸν Β. καὶ τῷ Β μέρει ὁμώνυμος ἔστω ἀριθμὸς
ὁ Γ. λέγω ὅτι ὁ Γ τὸν Α μετρεῖ. ἐπεὶ γὰρ ὁ Β τοῦ Α μέρος
ἐστὶν ὁμώνυμον τῷ Γ. ἔστι δὲ καὶ ἡ Δ
μονὰς τοῦ Γ μέρος ὁμώνυμον αὐ-
τῷ· ὃ ἄρα μέρος ἐστὶν ἡ Δ μονὰς
τοῦ Γ ἀριθμοῦ, τὸ αὐτὸ μέρος ἐστὶ
καὶ ὁ Β τοῦ Α· ἰσάκις ἄρα ἡ Δ μο-
νὰς τὸν Γ ἀριθμὸν μετρεῖ καὶ ὁ Β
τὸν Α. ἐναλλὰξ ἄρα ἰσάκις ἡ Δ
μονὰς τὸν Β ἀριθμὸν μετρεῖ καὶ ὁ
Γ τὸν Α. ὁ Γ ἄρα τὸν Α μετρεῖ. ὅπερ
ἔδει δεῖξαι:~



λθ΄ Ἀριθμὸν εὑρεῖν ὃς ἐλάχιστος ὢν ἕξει τὰ δοθέντα μέρη.
ἔστω τὰ δοθέντα μέρη τὰ Α Β Γ. δεῖ δὴ ἀριθμὸν εὑ-
ρεῖν ὃς ἐλάχιστος ὢν ἕξει τὰ Α Β Γ μέρη. ἔστωσαν
τοῖς Α Β Γ μέρεσιν ὁμώνυμοι ἀριθμοὶ οἱ Δ Ε Ζ. καὶ εἰ-
λήφθω ὑπὸ τῶν Δ Ε Ζ ἐλάχιστος μετρούμενος ἀ-
ριθμὸς ὁ Η. ἐπεὶ οὖν ὁ Η ὑπὸ τῶν Δ Ε Ζ μετρεῖται, ὁ Η ὁ-
μώνυμα μέρη ἕξει τοῖς Δ Ε Ζ. τοῖς δὲ Δ Ε Ζ ὁμώνυ-
μα μέρη ἐστὶ τὰ Α Β Γ. ὁ Η ἄρα ἕξει τὰ Α Β Γ μέρη.
λέγω δὴ ὅτι καὶ ἐλάχιστος ὤν. εἰ γὰρ μή, ὁ Η ἐλάχιστος
ὢν ἕξει τὰ Α Β Γ μέρη. ἔσται τις τοῦ Η ἐλάσσων ἀριθμὸς
ὃς ἕξει τὰ Α Β Γ μέρη. ἔστω ὁ Θ. ἐπεὶ ὁ Θ ἔχει τὰ Α Β Γ